# Storia della Lingua Greca – Laurea Magistrale – 20.9.2021

## Introduzione

*χρώμεθα γὰρ πολιτείᾳ … καὶ ὄνομα μὲν διὰ τὸ μὴ ἐς ὀλίγους ἀλλ’ ἐς πλείονας οἰκεῖν δημοκρατία κέκληται· La nostra Costituzione si chiama democrazia perché il potere non è nelle mani di una minoranza, ma del popolo tutto intero* (Tucidide II, 37) (http://european-convention.eu.int/docs/Treaty/cv00850.it03.pdf)

*Il.* VI 526-529
ἀλλ’ ἴομεν· τὰ δ’ ὄπισθεν ἀρεσσόμεθ’, αἴ κέ ποθι Ζεὺς
δώῃ ἐπουρανίοισι θεοῖς αἰειγενέτῃσι
**κρητῆρα** στήσασθαι **ἐλεύθερον** ἐν μεγάροισιν
ἐκ Τροίης ἐλάσαντας ἐϋκνήμιδας Ἀχαιούς.

*Il.* XVI 830-832
Πάτροκλ’ ἦ που ἔφησθα πόλιν κεραϊξέμεν ἁμήν,
Τρωϊάδας δὲ γυναῖκας **ἐλεύθερον ἦμαρ** ἀπούρας
ἄξειν ἐν νήεσσι φίλην ἐς πατρίδα γαῖαν

**Alc. fr. 72 V.**
. . . .].[
   ἐν[. .].λα[.]. . . . .[
λάβρως δὲ συν στεί[.]. .[. .]ε̣ι̣απ̣. .
πίμπλεισιν ἀκράτω [. . . .]π’ ἀμέρα.[
καὶ νύκτι παφλάσδει. . .αχθεν,
   ἔνθα νόμος θάμ’ ἐν.[.].[.].νην.
κῆνος δὲ τούτων οὐκ ἐπελάθετο
ὤνηρ ἐπεὶ δὴ πρῶτον ὀνέτροπε,
παίσαις γὰρ ὀννώρινε νύκτας,
   τῷ δὲ πίθω πατάγεσκ’ ὀ πύθμην.
σὺ δὴ τεαύτας ἐκγεγόνων ἔχηις
τὰν δόξαν οἴαν **ἄνδρες ἐλεύθεροι**
**ἔσλων ἔοντες ἐκ τοκήων**. . . .;

**Pind.** ***P.*** **1,60-62**
ἄγ’ ἔπειτ’ Αἴτνας βασιλεῖ φίλιον ἐξεύρωμεν ὕμνον·
τῷ πόλιν κείναν **θεοδ'μάτῳ σὺν ἐλευθερίᾳ**
Ὑλλίδος στάθ'μας Ἱέρων
   ἐν νόμοις ἔκτισσε·

**Hdt. I 62,1**
ἐξ Ἐρετρίης δὲ ὁρμηθέντες διὰ ἑνδεκάτου ἔτεος ἀπίκοντο ὀπίσω. καὶ πρῶτον τῆς Ἀττικῆς ἴσχουσι Μαραθῶνα. ἐν δὲ τούτῳ τῷ χώρῳ σφι στρατοπεδευομένοισι οἵ τε ἐκ τοῦ ἄστεος στασιῶται ἀπίκοντο, ἄλλοι τε ἐκ τῶν δήμων προσέρρεον, τοῖσι **ἡ τυραννὶς πρὸ ἐλευθερίης** ἦν ἀσπαστότερον.

**Thuc. IV 105,2**
καὶ τὴν ξύμβασιν μετρίαν ἐποιεῖτο, κήρυγμα τόδε ἀνειπών, Ἀμφιπολιτῶν καὶ Ἀθηναίων τῶν ἐνόντων τὸν μὲν βουλόμενον ἐπὶ τοῖς ἑαυτοῦ **τῆς ἴσης καὶ ὁμοίας μετέχοντα** μένειν, τὸν δὲ μὴ ἐθέλοντα ἀπιέναι τὰ ἑαυτοῦ ἐκφερόμενον πέντε ἡμερῶν.

Thuc. VIII 89,3
ἦν δὲ τοῦτο μὲν σχῆμα πολιτικὸν τοῦ λόγου αὐτοῖς, κατ᾽ ἰδίας δὲ φιλοτιμίας οἱ πολλοὶ αὐτῶν τῷ τοιούτῳ προσέκειντο, ἐν ᾧπερ καὶ μάλιστα **ὀλιγαρχία ἐκ δημοκρατίας γενομένη ἀπόλλυται**· πάντες γὰρ αὐθημερὸν ἀξιοῦσιν οὐχ ὅπως **ἴσοι**, ἀλλὰ καὶ πολὺ πρῶτος αὐτὸς ἕκαστος εἶναι· **ἐκ δὲ δημοκρατίας αἱρέσεως γιγνομένης** ῥᾷον τὰ ἀποβαίνοντα ὡς οὐκ ἀπὸ τῶν ὁμοίων ἐλασσούμενός τις φέρει.

Aesch. *Ag.* 456s.
βαρεῖα δ᾽ ἀστῶν φάτις ξὺν κότῳ·
**δημοκράτου** δ᾽ **ἀρᾶς** τίνει χρέος.

Hdt. VI 43,3
ὡς δὲ παραπλέων τὴν Ἀσίην ἀπίκετο ὁ Μαρδόνιος ἐς τὴν Ἰωνίην, ἐνθαῦτα μέγιστον θῶμα ἐρέω τοῖσι μὴ ἀποδεκομένοισι Ἑλλήνων Περσέων τοῖσι ἑπτὰ Ὀτάνην γνώμην ἀποδέξασθαι ὡς χρεὸν εἴη **δημοκρατέ–εσθαι** Πέρσας· τοὺς γὰρ **τυράννους** τῶν Ἰώνων καταπαύσας πάντας ὁ Μαρδόνιος **δημοκρατίας** κατίστα ἐς τὰς πόλις.

Ar. *Ra.* 948-952
ΕΥ. ἔπειτ᾽ ἀπὸ τῶν πρώτων ἐπῶν οὐδὲν παρῆκ᾽ ἂν ἀργόν,
ἀλλ᾽ ἔλεγεν ἡ γυνή τέ μοι χὠ δοῦλος οὐδὲν ἧττον,
χὠ δεσπότης χἠ παρθένος χἠ γραῦς ἄν.
ΑΙ. εἶτα δῆτα
οὐκ ἀποθανεῖν σε ταῦτ᾽ ἐχρῆν τολμῶντα;
ΕΥ. μὰ τὸν Ἀπόλλω·
**δημοκρατικὸν** γὰρ αὔτ᾽ ἔδρων.
ΔΙ. τοῦτο μὲν ἔασον, ὦ τᾶν.